eul_wid: wus-an

*Σοῦδα* · Suda

# Lexicon, Letter Ξ

*Σοῦδα, Στοιχεῖον Ξ*

**Period:** *Βυζαντινή* Byzantine
**Domain:** *Γραμματική* Grammar
**Format:** *Συναγωγή* Collection

ξ 1 Ξανᾶν: πονεῖν τοὺς καρποὺς τὰς γυναῖκας τῶν χειρῶν διὰ συνεχῆ τῶν ἐρίων ἐργασίαν.

ξ 2 Ξανήσει: κοπιάσει.

ξ 3 Ξανθήν: πυρροειδῆ.

ξ 4 Ξανθίζετε: οἷον τῷ μέλιτι χρωΐζετε, ἢ πυρρὰ τῇ ὀπτήσει ποιεῖτε. ἡ γὰρ καλῶς ἔχουσα ὄπτησις τῶν κρεῶν ἐστιν, ἵνα πυρρὰ ᾖ.

ξ 5 Ξανθίζεσθαι: κοσμεῖσθαι τὰς τρίχας.

ξ 6 Ξανθικός: ὄνομα μηνὸς παρὰ Μακεδόσιν. ὁ Ἀπρίλλιος.

ξ 7 Ξάνθιον: ἐπίκοπον.

ξ 8 Ξάνθιος: ὄνομα κύριον. ἦν δὲ Βοιωτὸς καὶ μονομαχῶν ἀνῃρέθη ὑπὸ Μελάνθου Ἀθηναίου. ζήτει ἐν τῷ Ἀπατούρια.

ξ 9 Ξάνθος, Κανδαύλου, Λυδὸς ἐκ Σάρδεων, ἱστορικός, γεγονὼς ἐπὶ τῆς ἁλώσεως Σάρδεων. Λυδιακὰ βιβλία δʹ. ἐν δὲ τῷ δευτέρῳ τούτων ἱστορεῖ, ὡς πρῶτος Γύγης ὁ Λυδῶν βασιλεὺς γυναῖκας εὐνούχισεν, ὅπως αὐταῖς χρῷτο ἀεὶ νεαζούσαις. οὗτος ἱστορεῖ ὁ Ξάνθος, Ἄλκιμόν τινα βασιλεῦσαι τῆς ἐκεῖσε χώρας, εὐσεβέστατον καὶ πραότατον ἄνδρα, καὶ ἐπ’ αὐτοῦ γενέσθαι εἰρήνην βαθεῖαν καὶ πλοῦτον πολύν, ἀδεῶς δὲ καὶ ἀνεπιβουλεύτως ζῆν ἕκαστον. εἶτα ἐπειδὴ ἑπτὰ ἔτη ἦν τῷ Ἀλκίμῳ, προελθόντας τοὺς Λυδοὺς παγγενῆ τε καὶ πανδημεὶ προσεύξασθαι καὶ αἰτῆσαι τῷ Ἀλκίμῳ τοιαῦτα ἔτη δοθῆναι ἐς τὸ Λυδῶν ἀγαθόν· ὃ καὶ γέγονε· καὶ ἐν εὐποτμίᾳ τε καὶ εὐδαιμονίᾳ πολλῇ διῆγον.

ξ 10 Ξάνθος: ὁ ποταμός. Ξανθὸς δὲ ὁ πυρρός.

ξ 11 Ξανθότερος καὶ Ξανθότατος.

ξ 12 Ξάνθοισιν: ὀρνέοις.

ξ 13 Ξάνιον: κτένιον, ὃ φοροῦσιν αἱ γυναῖκες ἐν τοῖς ἀναδήμασιν, οἷς κόσμος χρυσοῦς ἐπὶ κεφαλῆς.

ξ 14 Ξανῶ: κοπιάσω. Σοφοκλῆς Ποιμέσιν· Ἕκτωρ τοῖς Ἀχαιοῖς βουλόμενος μάχεσθαι φησίν· ἡδὺ ξανῆσαι καὶ προγυμνάσαι χέρα.

ξ 15 Ξαίνειν· αἰτιατικῇ. τὸ τύπτειν. καὶ ξαίνεσθαι, τὸ πάσχειν. φησὶν οὖν, ἡ βύρσα σου τυπτομένη διαφθαρήσεται· οἱ γὰρ βυρσεῖς τὰς βύρσας ξύλοις τύπτειν εἰώθασιν, ἵνα ἁπαλαὶ γενόμεναι διαλάβοιεν εὐχερῶς τοῦ φαρμάκου. ἐκέλευσε δὲ ξαίνειν τὸ σῶμα μάστιξι πάνυ πολλαῖς. καὶ ἐν Ἐπιγράμμασι· πολλὰ θαλασσαίῃ ξανθὲν ὑπὸ σπιλάδι. περὶ ὀστέου σκολοπένδρης ὁ λόγος.

ξ 16 Ξαίνω: νήθω, διαλύω, σωρεύω.

ξ 17 Ξένα: θαυμαστά.

ξ 18 Ξεναγία: δύο πεντακοσιαρχίαι, ἀνδρῶν ͵ακδʹ. οἱ δὲ πλεῖστοι τοῦτο τὸ πλῆθος χιλιαρχίαν καλοῦσι καὶ χιλίαρχον τὸν ἡγούμενον.

ξ 19 Ξεναγός: ὁ τῶν ξένων ἡγεμών.

ξ 20 Ξεναγῶν: ξενοδοχῶν. παρὰ Θουκυδίδῃ οἱ ἄρχοντες τῶν μισθοφόρων· ξένους γὰρ ἐκάλουν τοὺς μισθοφόρους. οἵ τε ξεναγοὶ ἑκάστης πόλεως ξυνεφεστῶτες ἠνάγκαζον ἐς τὸ ἔργον.

ξ 21 Ξεναλίζω: τὸ συναθροίζω.

ξ 22 Ξέναρχος, κωμικός. τῶν δραμάτων αὐτοῦ ἐστι Βουκολίων, 〈ὡσ〉 Ἀθήναιός φησιν ἐν βʹ Δειπνοσοφιστῶν· καὶ Πορφύρα καὶ Σκύθαι, ὡς ὁ αὐτός. καὶ Δίδυμοι καὶ Πένταθλος καὶ Πρίαπος, Ὕπνος, Στρατιώτης.

ξ 23 Ξένας: θαυμαστάς. Πισίδης· ὕλας χορηγῶν καὶ τοσαύτας καὶ ξένας.

ξ 24 Ξένετος: ὄνομα κύριον.

ξ 25 Ξενηλατεῖν: Λακεδαιμόνιοι μετὰ πληγῶν ἐξήλαυνον τοὺς ξένους. Ἀριστοφάνης· τί δ’ ἔστι δεινόν; ὥσπερ ἐν Λακεδαίμονι ξενηλατοῦνται καὶ κεκίνηνταί τινες πληγαὶ συχναὶ κατ’ ἄστυ. ποτὲ γὰρ ἐκεῖσε σποδιᾶς γενομένης ξενηλασία γέγονε.

ξ 26 Ξενία καὶ Ξενίζω. Φοίνιος Ἄρης οὐκ ἐξένισεν αὐτόν. τουτέστιν οὐκ ἀπέκτεινε. ξένια γὰρ Ἄρεος τραύματα καὶ φόνοι. καὶ Ἀρχίλοχος· ξένια δυσμενέεσι λυγρὰ χαριζόμενος.

ξ 27 Ξενίαν: καταγώγιον, κατάλυμα.

ξ 28 Ξενίας: ὄνομα κύριον.

ξ 29 Ξενίζειν: ξένῃ χρῆσθαι φωνῇ ἢ ξενικοῖς ἐπιτηδεύμασι. δηλοῖ δὲ καὶ τὸ ξενίας χάριν τινὰ ὑποδέξασθαι.

ξ 30 Ξενίζειν: οἱ μὲν ξένῃ διαλέκτῳ χρῆσθαι, οἱ δὲ ἐν τῇ ξένῃ διατρίβειν.

ξ 31 Ξενίην συνεθήκατο: παρὰ Ἡροδότῳ· ὡς ξένιον ἐδωρήσατο.

ξ 32 Ξενικὸν ἐμπόριον: ὅπου οἱ ξένοι ἐμπορεύονται· ὥσπερ ἀστικόν, ὅπου οἱ ἀστοί.

ξ 33 Ξενικὸν ἐν Κορίνθῳ· Δημοσθένης Φιλιππικοῖς καὶ Ἀριστοφάνης. συνεστήσατο δ’ αὐτὸ πρῶτος Κόνων, παρέλαβε δ’ αὐτὸ Ἰφικράτης ὕστερον καὶ Χαβρίας· ᾧ χρησάμενος τὴν Λακεδαιμονίων μοῖραν κατέκοψεν, στρατηγοῦντος αὐτοῖς Ἰφικράτους καὶ Καλλικλέους.

ξ 34 Ξενικός: ὁ ξένος, ὁ ἀλλότριος. ὡς εἶδεν ἄγαλμα ξενικὸν καὶ ἱερουργίαν οὐκ ἐπιχώριον εἰς τὸ τιμώμενον παρῴνησεν. οἱ ξενικοὶ μισθοφόροι τοπαράπαν εἰώθασι χρησιμεύειν ἐν πολέμοις. ὅτι οἱ Ἀθηναῖοι, μὴ βουλόμενοι δι’ ἑαυτῶν πολεμεῖν πρὸς Κορινθίους διὰ τὸν κίνδυνον, μισθούμενοι ξένους εἰς τὸν πόλεμον ἔτρεφον αὐτούς. τοῦτο δὲ ἐν πολλοῖς τῶν πολέμων διεπράττοντο· ὅπερ ξενικὸν ἐκάλουν.

ξ 35 Ξενικοῖς: ἀντὶ τοῦ ἀλλοτρίοις καὶ μὴ προσήκουσιν· ὅτι ἀνοίκειον Ἑλλήνων τὸ ἐξαπατᾶσθαι. ἢ ξενικοῖς, τοῖς ἀπὸ τῶν ξένων πρέσβεων λεγομένοις. Ἀριστοφάνης· παύσας ὑμᾶς ξενικοῖσι λόγοισι μὴ λίαν ἐξαπατᾶσθαι.

ξ 36 Ξένιον: δῶρον παρὰ ξένων διδόμενον.

ξ 37 Ξένιος: ὁ τῆς ξενίας ἔφορος. λέγεται καὶ Ξένιος ὁ Ζεύς.

ξ 38 Ξενίωνος: ὄνομα κύριον.

ξ 39 Ξενιτευομένους: ἀντὶ τοῦ μισθοφοροῦντας. Ἀντιφάνης Εὐθυδίκῳ· ἐγὼ ξενιτευόμενος ἐστρατευόμην. καὶ Ξενιτεύω, Ξενιτεία.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ξ 40 Ξενοδοχεῖον: τὸ τοὺς ξένους ὑποδεχόμενον. καὶ Ξενοδόχος ὁμοίως.

ξ 41 Ξενοκοπεῖν: ἐπὶ τοῦ πληγὰς λαβεῖν. οὕτω Μεταγένης.

ξ 42 Ξενοκράτης, Ἀγάθωνος ἢ Ἀγαθάνορος, Χαλκηδόνιος, μαθητὴς καὶ διάδοχος μετὰ Σπεύσιππον Πλάτωνος· τοῦ δὲ Πολέμων, τοῦ δὲ Κράντωρ. καὶ πέμψαντος αὐτῷ τοῦ Μακεδόνος Ἀλεξάνδρου χρυσοῦ τάλαντα λʹ, αὐτὸς ἀπέπεμψεν, εἰπών, βασιλέα δεῖσθαι χρημάτων, οὐ φιλόσοφον. ἔγραψε περὶ τῆς Πλάτωνος πολιτείας.

ξ 43 Ξενοκράτης, φιλόσοφος, ὃς ἐπὶ σωφροσύνῃ ἐτεθρύλητο. ὁ δὲ πρὸς σωφροσύνην οὐδὲν μεῖον εἶχε τοῦ Πλατωνικοῦ Ξενοκράτους. οὗτος συνεγράψατο τὸ οἰκοσκοπικὸν οἰώνισμα· ὅτι οἷον, εἰ ἐν τῇ στέγῃ ἐφάνη γαλῆ ἢ ὄφις, τόδε σημαίνει.

ξ 44 Ξενολόγιον. καὶ Ξενολόγος, ξένους συλλέγων στρατιώτας.

ξ 45 Ξένος: ὁ φίλος. ἐφοίτων δὲ πρεσβεῖαι ἐκ τῶν πόλεων ξένον τε αὐτὸν ἡγούμενοι καὶ βίου σύμβουλον βωμῶν τε ἱδρύσεως καὶ ἀγαλμάτων. ὁ δὲ ἕκαστα τούτων διωρθοῦτο. καὶ αὖθις· ἐν ταῖς ἰδίαις πατρίσι ξένους ποιοῦνται. Ξένος καὶ ὁ ξενοδόχος. ὁ Ἀπόστολος· ἀσπάζεται ὑμᾶς ξένος ὁ φίλος μου.

ξ 46 Ξενοφάνης ἐν ἐλεγείᾳ περὶ τοῦ ἄλλοτε ἄλλον αὐτὸν γεγενῆσθαι· καί ποτέ μιν στυφελιζομένου σκύλακος παριόντα φασί γ’ ἐποικτεῖραι καὶ τόδε φάσθαι ἔπος· παῦσαι, μηδὲ ῥάπιζ’, ἐπειὴ φίλου ἀνέρος ἐστὶ ψυχή, τὴν ἔγνων φθεγξαμένην ἀΐων. ἔσκωψε δ’ αὐτὸν καὶ Κρατῖνος ἐν Πυθαγοριζούσῃ. καὶ ἐν Ταραντίνοις· ἔθος ἐστὶν αὐτοῖς, ἐὰν ἰδιώτην ποθὲν λάβωσιν εἰσελθόντα, διαπειρώμενον τῆς τῶν λόγων ῥώμης ταράττειν καὶ κυκᾶν τοῖς ἀντιθέτοις, τοῖς πέρασι, τοῖς παρισώμασι, τοῖς ἀποπλάνοις, τοῖς μεγέθεσι νουβυστικῶς.

ξ 47 Ξενοφῶν, Γρύλου, Ἀθηναῖος, φιλόσοφος Σωκρατικός· ὃς πρῶτος ἔγραψε βίους φιλοσόφων καὶ ἀπομνημονεύματα. παῖδας ἔσχεν ἀπὸ Φιλησίας Γρύλον καὶ Διόδωρον, οἳ καὶ Διόσκουροι ἐκαλοῦντο· αὐτὸς δὲ Ἀττικὴ μέλιττα ἐπωνομάζετο. γέγονε δὲ συμφοιτητὴς Πλάτωνος καὶ ἤκμαζε κατὰ τὴν ϟεʹ ὀλυμπιάδα. ἔγραψε βιβλία πλείονα τῶν μʹ, ὧν καὶ ταῦτα· Κύρου παιδείας βιβλία ηʹ, Κύρου Ἀναβάσεως βιβλία ζʹ, Ἑλληνικῶν βιβλία ζʹ, Συμπόσιον· καὶ ἄλλα πολλά.

ξ 48 Ξενοφῶν, Σωκράτους μαθητής, ἐστρατεύσατο ἐπὶ Πέρσας Κύρῳ συνανελθὼν ἐπὶ τὸν ἀδελφὸν Ἀρταξέρξην. ὁ Κῦρος δὲ ἦν μετὰ Τισσαφέρνην ὕπαρχος ὑπὸ Δαρείου τοῦ πατρὸς τῶν ἐν τῇ Ἀσίᾳ καταστάς. μετὰ δὲ τὸν Δαρείου θάνατον Κῦρον Ἀρταξέρξης διαβληθέντα ὑπὸ Τισσαφέρνους ἀναιρεῖν μέλλων ἀφῆκε, Παρυσάτιδος τῆς μητρὸς παραιτησαμένης αὐτὸν καὶ τὴν στρατιὰν αὐτῷ φυλαξάσης. ὁ δὲ ὡς Τισσαφέρνει πολεμῶν ἤθροισε δύναμιν καὶ ἐπὶ τὸν ἀδελφὸν ἔγνω στρατεύειν. υʹ δὲ κατέλιπον τὸν Κῦρον καὶ ἔφυγον ἐκ τῶν συστρατευσάντων ὁπλῖται καὶ πελτασταὶ ͵γφʹ. Ξενοφῶν δὲ συνανέβη. δέκα οὖν βαρβάρων μυριάδας συναθροίσας ὡς ἐπὶ Πισίδας δῆθεν ἐπορεύετο. ὡς δὲ τὰ ἔθνη διῆλθεν, ἐφ’ ἃ στρατεύειν προεφασίζετο, συνέντες οἱ Ἕλληνες ἐπὶ βασιλέα εἶναι τὴν στρατείαν ὤκνουν τὴν ἀνάβασιν. Κλεάρχου δὲ εἰπόντος τὴν ὑποστροφὴν ἄπορον εἶναι, Κύρου μὴ συναιρομένου, συνῄεσαν. Κῦρος δὲ γυμνῇ τῇ κεφαλῇ πρὸς Τισσαφέρνην μαχόμενος, καίτοι Κλεάρχου ἀπαγορεύοντος αὐτῷ μὴ πολεμεῖν, ἀπέθανεν. οἱ δὲ Ἕλληνες ὑπὸ Κλεάρχῳ τεταγμένοι Ἀριαῖον προεβάλλοντο βασιλέα ἑαυτῶν, ὁ δὲ παρῃτήσατο. βασιλεὺς δὲ τὴν τοῦ Κύρου κεφαλὴν καὶ τὴν χεῖρα ἀποκόψας τοῖς Ἕλλησιν ἔπεμπε, ζητῶν τὰ ὅπλα ὡς παρὰ νενικημένων· οἱ δὲ οὐκ ἔδοσαν. δόλῳ δὲ Τισσαφέρνης παραβὰς τοὺς ὅρκους προδίδωσι βασιλεῖ τοὺς Ἕλληνας καὶ Κλέαρχον καὶ Μένωνα, οὓς ἀναιρεῖ. καὶ Ξενοφῶν αὐτῶν στρατηγεῖ καὶ πάντας νικᾷ. ἐλθόντες δὲ εἰς Θρᾴκην ἐμίσθωσαν ἑαυτοὺς Σεύθῃ τῷ βασιλεῖ μύριοι διασωθέντες.

ξ 49 Ξενοφῶν, Ἀντιοχεύς, ἱστορικός. Βαβυλωνιακά· ἔστι δὲ ἐρωτικά.

ξ 50

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ξενοφῶν, Ἐφέσιος, ἱστορικός. Ἐφεσιακά· ἔστι δὲ ἐρωτικὰ βιβλία ι′ περὶ Ἀβροκόμου καὶ Ἀνθίας· καὶ Περὶ τῆς πόλεως Ἐφεσίων· καὶ ἄλλα.

ξ 51 Ξενοφῶν, Κύπριος, ἱστορικός. Κυπριακά· ἔστι δὲ καὶ αὐτὰ ἐρωτικῶν ὑποθέσεων ἱστορία περί τε Κινύραν καὶ Μύρραν καὶ Ἄδωνιν.

ξ 52 Ξενῶνος: δόμου τοῦ ὑποδεχομένου τοὺς ξένους καὶ ἀρρωστοῦντας.

ξ 53 Ξέω· αἰτιατικῇ.

ξ 54 Ξέρξης, Περσῶν βασιλεύς. οὗτος τοῦ πατρὸς Δαρείου τελευτῶντος καὶ μέμνησο Μαραθῶνος εἰπόντος, ἐπὶ τὴν Ἑλλάδα ἐστράτευσε καὶ πρῶτον κήρυκας ἔπεμψεν αἰτοῦντας γῆν καὶ ὕδωρ. Ἀθηναῖοι μὲν οὖν τοὺς πρέσβεις ἐξεκήρυξαν ἐκ τῆς πόλεως, καὶ τὸν ὑπακούειν συμβουλεύσαντα κατέλευσαν καὶ γυναῖκα καὶ παῖδας· Λακεδαιμόνιοι δὲ εἰς φρέαρ ἐμβαλόντες γῆν ἐπέβαλον. μηνίσαντος δὲ τοῦ θεοῦ ἐνόσησαν· χρήσαντος δὲ τοῦ θεοῦ δίκας δοῦναι Ξέρξῃ ὑπὲρ τῶν κηρύκων, Βοῦλις καὶ Σπέρχις αὐθαίρετοι ἐς Πέρσας ἀνῆλθον δώσοντες δίκας. ὁ δὲ θαυμάσας ἀφῆκε ζῶντας, καὶ ἡ νόσος ἐπαύσατο. ὁ δὲ πεζοῦ μὲν μυριάδας τῶν Αἰγύπτου τε καὶ Φοινίκων καὶ Κυπρίων ἐστρατοπέδευεν. ἐν Σάρδει δὲ γενομένῳ ὁ ἥλιος ἐξέλιπεν. εἶχε δὲ ἐπιλέκτους μυρίους, οὓς Ἀθανάτους ἐκάλει. διώρυξε δὲ καὶ τὸν Ἄθω, Μακεδονικὸν ὄρος. ἔζευξε καὶ τὸν Ἑλλήσποντον μεταξὺ Σηστοῦ καὶ Ἀβύδου· διαλυθέντος δὲ ὑπὸ χειμῶνος μέρους, πέδας τε εἰς τὴν θάλασσαν καθῆκε καὶ ἐμαστίγου τὸ ὕδωρ. προσενεχθεισῶν δὲ αὐτῷ καὶ σιταγωγῶν νηῶν Ἑλληνίδων, ἀφῆκε, τροφὴν εἶναι δούλων εἰπών. κατασκόπους δὲ λαβών, δείξας τὴν δύναμιν ἅπασαν ἀφῆκε. ζήτει ἐν τῷ Δαρεικούς.

ξ 55 Ξεστίον: μέτρον ἐπὶ ὑγρῶν.

ξ 56 Ξεστόν: ὡμαλισμένον.

ξ 57 Ξεινήϊον· καὶ Ξεινήϊος Ζεύς.

ξ 58 Ξεινοδόκος.

ξ 59 Ξεῖνοι: οἱ ἀπὸ ξένης φίλοι.

ξ 60 Ξηνός: ὁ κορμός.

ξ 61 Ξηραλοιφεῖν· Αἰσχίνης κατὰ Τιμάρχου. ξηραλοιφεῖν ἔλεγον τὸ χωρὶς λουτρῶν ἀλείφεσθαι. μήποτε δὲ καὶ τὸ ὑπὸ τῶν ἀλειπτῶν λεγόμενον ξηροτρίβεσθαι οὕτως ἐλέγετο.

ξ 62 Ξηραλοιφία καὶ Ξηραλοιφεῖν: τὸ ἄνευ τοῦ λούεσθαι ἀλείφεσθαι.

ξ 63 Ξηραίνω· αἰτιατικῇ· τὸ ψύγω.

ξ 64 Ξηρίον: εἶδος ἰατρικῆς.

ξ 65 Ξηρόλοφος· ὅτι τὸν Ξηρόλοφον πρῴην Θέαμα τινὲς ἐκάλουν· ἐν αὐτῷ γὰρ κοχλίαι ις′ καὶ Ἀρτέμιδος σύνθετος στήλη καὶ Σευήρου τοῦ κτίσαντος καὶ θεμάτιον τρίπουν. ἔνθα ἐθυσίασε πολλὰς θυσίας Σευῆρος· ἔνθα καὶ χρησμοὶ πολλοὶ τῷ τόπῳ γεγόνασι· καθ’ ὃν καιρὸν καὶ κόρη παρθένος ἐτύθη. καὶ θέσις ἦν ἀστρονομική, λς′ χρόνους διαρκέσασα.

ξ 66 Ξηρός: ὁ ἰσχνός.

ξ 67 Ξηρὸς ἱδρώς: ὁ μὴ ὑπὸ λουτρῶν, ἀλλ’ ὑπὸ γυμνασίων καὶ πόνων γινόμενος.

ξ 68 Ξηρὸς λίθος: ὁ ἄνευ πηλοῦ κτιζόμενος. ἦν γὰρ λίθῳ ξηρῷ διεσκευασμένον τὸ φρούριον ἐκ μεγάλων λίθων συνηρμοσμένον.

ξ 69 Ξίρις: εἶδος φυτοῦ ἀρωματικοῦ.

ξ 70 Ξιφήν: ὁ φέρων ξίφος.

ξ 71 Ξιφήρης: ξίφος ἔχων. καὶ τὸ πληθυντικὸν Ξιφήρεις.

ξ 72

Ξιφηφορία: φέρειν τὰ ξίφη. καὶ Ξιφηφόρος.

ξ 73 Ξιφίζειν: τὸ χειροτονεῖν, παραπλήσιον ξίφει τὸ τῆς χειρὸς σχῆμα ποιοῦντα. λύσις ὀνείρου· ξίφος κατασχὼν ὅπλον εὑρεῖν προσδόκα.

ξ 74 Ξιφισμός: σχῆμα ἐκ τῆς ἐμμελείας καλουμένης.

ξ 75 Ξιφοκτονεῖν: ξίφεσιν ἀναιρεῖν.

ξ 76 Ξίφος καὶ Ξιφίδιον.

ξ 77 Ξιφουλκία. οὐκ εἶναί φασι ξιφουλκίας εὐμοιρίαν.

ξ 78 Ξόανον: ἄγαλμα, εἴδωλον, ζῴδιον, ἀνδριάς.

ξ 79 Ξούθη: εὐμορφοτάτη. οὐδέ με κεκλιμένον σκιερὴν ὑπὸ φυλλάδα τέρψεις, ξουθῶν ἐκ πτερύγων ἡδὺ κρέκουσα μέλος.

ξ 80 Ξουθῆς· Ἀριστοφάνης· δι’ ἐμῆς γένυος ξουθῆς μελέων Πανὶ νόμους ἱεροὺς ἀναφαίνω.

ξ 81 Ξουθόν: λεπτόν, καπυρόν, ἀργυροῦν, ξανθόν, καλόν, πυκνόν, ὀξύ, ταχύ· οἱ δὲ ποικίλον, εὐειδές, διαυγές. ὥσπερ ξουθὸς ἱππαλεκτρυὼν τοὺς λόφους σείων.

ξ 82 Ξοῦθος: ὄνομα κύριον. ζήτει ἐν τῷ Βοηδρομία.

ξ 83 Ξυγγενεῖς τοὐμοῦ τρόπου: ἀντὶ τοῦ τὰ αὐτὰ πράττουσαι.

ξ 84 Ξυγγενοῦ: σύνελθε. ὦ δέσποινα Νίκη, ξυγγενοῦ.

ξ 85 Ξυγγέωργος: προπαροξυτόνως· σύνθετον γάρ, ὡς πάγκαλος, πάνσοφος· τὰ γὰρ εἰς ος ὀξύτονα συντιθέμενα βαρύνεται. Ἀριστοφάνης Πλούτῳ· τοὺς ξυγγεώργους κάλεσον.

ξ 86 Ξυγγνώμη πρῶτον πείρῳ: ἐπὶ τῶν ἐν πρώτοις τινὸς διαμαρτανόντων.

ξ 87 Ξυγγραφεῖς· οἱ περὶ Πείσανδρον ἐλθόντες εἰς Ἀθήνας, πρῶτον μὲν τὸν δῆμον ξυλλέξαντες εἶπον γνώμην δέκα ἄνδρας ἑλέσθαι ξυγγραφέας αὐτοκράτορας· τούτους ξυγγράψαντας γνώμην εἰσενεγκεῖν εἰς τὸν δῆμον εἰς ἡμέραν ῥητήν, καθότι ἄριστα ἡ πόλις οἰκήσεται. ἐπεὶ δὲ ἡ ἡμέρα ἐφῆκε, ξυνέλεξαν τὴν ἐκκλησίαν ἐς τὸν Κολωνόν, ὃ ἦν ἱερὸν Ποσειδῶνος, καὶ ἐπήνεγκαν οἱ ξυγγραφεῖς ἄλλο μὲν οὐδέν, αὐτὸ δὲ τοῦτο, ἐξεῖναι μὲν Ἀθηναίων ἀνατρέπειν γνώμην, ἣν ἄν τις βούληται· ἦν δέ τις εἰπόντα ἢ γράψηται παρανόμων ἢ ἄλλῳ τῳ τρόπῳ βλάψῃ, μεγάλας ζημίας ἐπέθεσαν. ἐνταῦθα δὲ λαμπρῶς ἐλέγετο ἤδη, μήτε ἀρχὴν ἄρχειν μηδεμίαν ἐκ τοῦ αὐτοῦ κόσμου μήτε μισθοφορεῖν προέδρους τε ἑλέσθαι ε′ ἄνδρας, τούτους ἑλέσθαι ρ′ ἄνδρας, καὶ τῶν ρ′ ἕκαστον πρὸς ἑαυτῷ γ′· ἐλθόντας δὲ αὐτοὺς υ′ ὄντας εἰς τὸ βουλευτήριον ἄρχειν ὅπῃ ἂν ἄριστα γινώσκωσιν αὐτοκράτορας· καὶ τοὺς ͵ε′ δὲ ξυλλέγειν, ὁπότ’ ἂν αὐτοῖς δοκῇ. ἦν δὲ ὁ ταύτην τὴν γνώμην εἰπὼν Πείσανδρος, καὶ τἄλλα ἐκ τοῦ προφανοῦς προθυμότατα ξυγκαταλύσας τὸν δῆμον.

ξ 88 Ξυγκλύδων· ζήτει ἐν τῷ συγκλύδων.

ξ 89 Ξυγγράψαι καὶ Γράψαι: τὸ μὲν γράψαι ἐφ’ ἑνὸς πράγματος, τὸ δὲ ξυγγράψαι ἐπὶ πολλῶν. ἢ ξυγγράψαι, τὸ μετ’ ἐπιμελείας καὶ σπουδαίως συντάξαι, γράψαι δὲ τὸ ἁπλῶς καὶ μὴ ἐπιμελῶς τὴν ἀλήθειαν εὑρεῖν.

ξ 90 Ξύει: γράφει. ὡς παρ’ Ὁμήρῳ. ἔνθεν καὶ τὰ ξύσματα, γράμματα.

ξ 91 Ξυήλην: ἣν ξυάλην λέγομεν. Ξενοφῶν Κύρου Ἀναβάσει· εἶχον δὲ θώρακας λινοῦς μέχρι τοῦ ἤτρου, ἀντὶ δὲ τῶν πτερύγων ὡς παρὰ τὰ πυκνὰ ἐστραμμένα. εἶχον δὲ καὶ κράνη, καὶ περὶ τὴν ζώνην μαχαίριον, ὅσον ξυήλη Λακωνική. ἣν Ἀττικοὶ κνῆστιν, Λάκωνες δὲ ξυήλην λέγουσι μόνον. ἐπὶ δ’ αἴγειον κνῆ τυρὸν κνήστει χαλκείῃ. οἱ μὲν οὖν Ἀττικοὶ τὸ ῥῆμα οὕτως λέγουσι, κἀπικνεῖν κἀπεσθίειν, οἱ δὲ Λάκωνες τοὔνομα ξυήλην. ὡς καὶ Ξενοφῶν φησιν ἐν τῇ δ′ τῆς Ἀναβάσεως, ὅτι Δρακόντιος ἔφυγεν ἐκ Σπάρτης παῖς ἔτι ὤν, ἀποκτείνας ξυήλῃ Λακωνικῇ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

παῖδα. διὰ τοῦτο δὲ καὶ τὸ κνεῖν οἱ Δωριεῖς ξύειν λέγουσιν· ὡς καὶ Σώφρων· ἄν τις τὸν ξύοντα ἀντιξύῃ. καὶ πάλιν· ξύεται ὁ χοραγός.

ξ 92 Ξυλλαβεῖν: διττή ἐστιν ἡ χρῆσις τοῦ συλλαβεῖν παρὰ τοῖς ἀρχαίοις· πρὸς γὰρ διάφορον κλίσιν διάφορος καὶ ἡ διάνοια. ἐὰν μὲν γὰρ πρὸς αἰτιατικὴν ἡ σύνταξις ᾖ, ἔχθραν καὶ δυσμένειαν παρίστησι τοῦ συλλαμβάνοντος, κακουργίαν δὲ τοῦ συλλαμβανομένου, ὡς νῦν, ξυλλαβεῖν τὸν ἄνδρα. καὶ Δημοσθένης ἐν τῷ κατὰ Μειδίου· οὐχὶ συλληψόμεθα αὐτόν; ἐὰν δὲ πρὸς δοτικήν, σημαίνει φιλίαν καὶ συμμαχίαν, ὡς Ἰσοκράτης ἐν ταῖς Παραινέσεσιν· ὁρῶ δὲ καὶ τὴν τύχην ἡμῖν συλλαμβάνουσαν. ἴσον τῷ συναγωνιζομένην. ἐπάγει γοῦν, καὶ τὸν παρόντα καιρὸν συναγωνιζόμενον. καὶ Δημοσθένης α′ Φιλιππικῶν.

ξ 93 Ξύλα κλίνεια: τὰ τῶν κλινῶν.

ξ 94 Ξυλεία: ἡ τῶν ξύλων τῶν ναυπηγησίμων συλλογή.

ξ 95 Ξύλινος.

ξ 96 Ξύλον ἀγκύλον οὐδέποτ' ὀρθόν: ὅτι δυσχερὲς ἐκ φαύλων ἀγαθοὺς ἀπεργάσασθαι.

ξ 97 Ξύλοχος: σύνδενδρος καὶ ξυλώδης πάγος, δρυμός, ὕλη, χέρσος, ἀγρός, τόπος· οἱ δὲ κοίτην θηρίου. οὐδ' ἵκετ' ἐκ μάνδρης αὖθις ἐπὶ ξύλοχον.

ξ 98 Ξυλυφίων· οἷον ἐπὶ τῶν ἁπαλῶν ξυλυφίων, ὅταν κάμψαντες ἀφῶμεν αὐτά· ὅτι Διοκλῆς ὁ Ἀθηναῖος πρῶτος εὗρε τὴν ἐν τοῖς ὀξυβάφοις ἁρμονίαν ἐν ὀστρακίνοις ἀγγείοις, ἅπερ ἔκρουεν ἐν ξυλυφίῳ.

ξ 99 Ξύλων ἐρεψίμων: στεγάσματά ἐστι τὰ ἐρέψιμα, εἰς τὰς οἰκίας κατατεταγμένα.

ξ 100 Ξυμβάλλειν: νοεῖν. ὁ δὲ οὐ χαλεπῶς εἶχε ξυμβάλλειν, τὸν στρατηγὸν ἐμβεβληκέναι αὐτοῖς τὸν φόβον.

ξ 101 Ξυμβαίνοντα: συμφωνοῦντα. πρὶν τὰ ἔργα τοῖς λόγοις ξυμβαίνοντα ὀφθῆναι.

ξ 102 Ξυμβαινούσης: συμφωνουμένης, ἀρεσκούσης. ὅτι ἀποχρῶν ἔσται τοῖς ἀμφ' αὐτὸν ὠνεῖσθαι τὰ ἐπιτήδεια τῆς ξυμβαινούσης τιμῆς· καὶ αὖθις· ἐθέλειν σπείσασθαι, εἰ μάθοι ἐφ' οἷς τισι ξυμβαίνοιεν.

ξ 103 Ξύμβλητο: συνήντησε.

ξ 104 Ξύμβολον ὄρνιν φασίν· ἐπειδὴ συμβόλους ἐποίουν τοὺς πρῶτα συναντῶντας καὶ ἐξ ἀπαντήσεως προσημαίνοντας.

ξ 105 Ξυμβόλους: οὕτω τοὺς διὰ τῶν πταρμῶν οἰωνισμοὺς ἔλεγον. ἀνετίθεντο δ' οὗτοι Δήμητρι.

ξ 106 Ξυμμίξασα: ξυντυχοῦσα. οὐδεμιᾷ γὰρ δεινοτέρᾳ σου ξυμμίξασ' οἶδα γυναικί. ἀντὶ τοῦ ἱκανωτάτῃ, φρονιμωτάτῃ.

ξ 107 Ξυμπάθεια: συμπάθεια. ὅλως δὲ ὁ διὰ τοῦ ξ σχηματισμὸς κοινός ἐστι τῶν τε Ἰώνων καὶ τῶν Ἀττικῶν.

ξ 108 Ξυμπονήσαντα: ἀντὶ τοῦ ὑπομείναντα.

ξ 109 Ξυμφέρω: ξυμβαστάσω. φέρε νὺν ἐγώ σοι ξυμφέρω.

ξ 110 Ξυμφοράν φησι Θουκυδίδης τὴν ἀπὸ περιστάσεως δυστυχίαν, καὶ οὐκ ἐξ οἰκείας ἀβουλίας κακοπραγίαν ἤτοι κακίαν. καὶ γὰρ αἱ τῆς φύσεως ἐλαττώσεις καὶ διαπτώσεις κακίαι πάντως εἰσίν. ἢ ξυμφοράς, τὰς ἀποτυχίας. ἐνδέχεται γὰρ τὰς ξυμφορὰς τῶν πραγμάτων οὐχ ἧσσον ἀμαθῶς χωρῆσαι ἢ διὰ τὰς διανοίας τοῦ ἀνθρώπου.

ξ 111 Ξύν: Θουκυδίδης ἀντὶ τοῦ σύν· καὶ τὰ ἄλλα τὰ ὅμοια. οὕτως καὶ οἱ παλαιοὶ πάντες.

ξ 112

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ξυνάγκεια: ὁ κοῖλος τόπος. Ἀρριανός· ὁ δὲ ὑποτεμόμενος αὐτὸν ἐν ξυναγκείᾳ τινὶ βάλλει κατὰ νώτου τὸν ἄνθρωπον.

ξ 113 Ξυναλλαγή: ἀμοιβή, παραμυθία, συνάντησις. λήγει δ' ἔρις δραμοῦσα τοῦ προσωτάτω ἀνδρῶν γερόντων ἐν ξυναλλαγῇ λόγου. Σοφοκλῆς. ἢ ξυναλλαγή, ἡ ὁμιλία.

ξ 114 Ξυναλλαγή· πότερα δόλοισι τέθνηκεν ἢ νόσου ξυναλλαγῇ; νόσοις ὁ τλήμων ὡς ἔοικεν ἔφθιτο καὶ τῷ μακρῷ γε συμμετρούμενος χρόνῳ.

ξ 115 Ξυνάορον: γαμετήν.

ξ 116 Ξυναυλία: αὔλησίς τις σύμφωνος, ὑπὸ δύο περαινομένη αὐλῳδία.

ξ 117 Ξυναυλίαν: κοινωνίαν. τουτέστιν ὁμόσε ἀποδυρώμεθα. ξυναυλία δὲ καλεῖται, ὅταν δύο αὐληταὶ τὸ αὐτὸ λέγωσιν. ἢ ὅταν κιθάρα καὶ αὐλὸς συμφωνῇ. νόμοι δὲ καλοῦνται οἱ εἰς θεοὺς ὕμνοι.

ξ 118 Ξυναυλίαν πενθήσωμεν, Οὐλύμπου νόμον: Ὄλυμπος αὐλητὴς γέγονε, Μαρσύου μαθητὴς καὶ αὐτὸς δυστυχήσας διὰ μουσικήν. καθάπερ οὖν Ὄλυμπος εὗρε τὸ συναυλεῖν, καὶ ἡμεῖς ὅμοια καὶ ὥσπερ ἀπὸ μιᾶς φωνῆς ὀδυρώμεθα. μιμησώμεθα ἐν τῷ θρηνεῖν συναυλίαν Ὀλύμπου. οὗτος δὲ ὁ Ὄλυμπος ἐν Φρυγίᾳ τοὺς αὐλητικοὺς νόμους ἐποίει. ἔγραψε δὲ καὶ θρηνητικοὺς νόμους.

ξ 119 Ξύναυλον: παρὰ Ἀριστοφάνει ξύναυλον βοάν, τὴν μετὰ αὐλῶν κοινήν.

ξ 120 Ξυνδιενεγκεῖν: συμπράξαι, συναγωνίσασθαι. οἱ δὴ ἐδέοντο πόλεμον τὸν πρὸς Λογγιβάρδους ξυνδιενεγκεῖν σφίσιν. οἱ δὲ δισχιλίους ἔπεμψαν.

ξ 121 Ξυνδιήνεγκαν: συνέκαμον, συνεπράξαντο. πολλὰ γὰρ δὴ πράγματα ξυνδιήνεγκαν μεθ' ἡμῶν, εἰσβολάς τε καὶ μάχας. ἀντὶ τοῦ ὑπερήνεγκαν. οὕτως Ἀριστοφάνης.

ξ 122 Ξὺν δίκῃ: ἀντὶ τοῦ πρεπόντως, εὐλόγως. ξὺν δίκῃ ταῦτα ἀξιοῦν ἔφη τὸν βασιλέα.

ξ 123 Ξὺν δίκῃ: κατὰ τὸ πρέπον. τὰ γέρα τούτοις ξὺν δίκῃ νενέμητο ἑκάστοις.

ξ 124 Ξυναίρεται: συνάπτεται. καὶ Ξυναιρόμενον, συναντιλαμβανόμενον. εἰ ξυγχωρήσαιμεν τὸ παρὰ σοῦ κομισθὲν γράμμα ξυναιρόμενον τῇ κατὰ σὲ πολιτείᾳ.

ξ 125 Ξυνέβημεν: ὡμονοήσαμεν, συνεφωνήσαμεν. Ἀριστοφάνης Νεφέλαις· εἶτα τῷ χρόνῳ κοινῇ ξυνέβημεν.

ξ 126 Ξυνέηκε: συνέβαλε.

ξ 127 Ξυνενεχθῆναι: εὐτυχηθῆναι, αὐξηθῆναι.

ξ 128 Ξυννενημένων: σεσωρευμένων. Θουκυδίδης· τῶν νεκρῶν ὁμοῦ ἐπ' ἀλλήλοις ξυννενημένων ὀσμαὶ ἦσαν οὐκ ἀνεκτοί.

ξ 129 Ξυννένοφεν: ἐπινεφῆ καὶ συννεφῆ καὶ συννέφελά ἐστιν. Ἀριστοφάνης Ἀναγύρῳ· καὶ ξυννένοφε καὶ χειμέρια βροντᾷ μάλ' εὖ. καὶ ἐν Νήσοις· ὡς ἐς τὴν γῆν κύψασα κάτω καὶ ξυννενοφυῖα βαδίζει. ἀντὶ τοῦ σκυθρωπάζουσα.

ξ 130 Ξυνεπιλαβεῖν: συναγωνίσασθαι. πιστὴν Ῥωμαίοις εἶναι τὴν πόλιν, ὡς Λουκούλλῳ τε ξυνεπιλαβεῖν τοῦ πρὸς Μιθριδάτην πολέμου.

ξ 131 Ξυνέρξετε: ἀποκλείσατε. Σοφοκλῆς· οὐ ξυνέρξεθ' ὡς τάχος.

ξ 132 Ξύνες: σύνες, ἄκουσον.

ξ 133 Ξυνέσεως: συνέσεως, φρονήσεως. ὁ δὲ πρᾶος ἦν καὶ ξυνέσεως εὖ ἥκων (ἀντὶ τοῦ καλῶς καὶ ἐπὶ πλεῖστον) καὶ ἀρετῆς μεταποιεῖσθαι ἐξεπιστάμενος.

ξ 134 Ξυνετρίβη τῆς κεφαλῆς: οὕτως ἐπὶ γενικῆς τάττουσιν. ἕως ξυνετρίβη τῆς κεφαλῆς.

ξ 135 Ξυνευνέτης: ἀρσενικῶς· θηλυκῶς δὲ διὰ τοῦ ι.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ξ 136 Ξυνεῖα.

ξ 137 Ξυνήγαγε: ξυνήρμοσεν. Ἀριστοφάνης Ἀχαρνεῦσι· πόσου τὸν πρωκτὸν συνήγαγε. περὶ Κλεωνύμου.

ξ 138 Ξυνήϊα: κοινὰ χρήματα.

ξ 139 Ξυνῆκα: ἐνόησα.

ξ 140 Ξυνῄσθετο: ἐνόησε.

ξ 141 Ξυνίασι: συνέρχονται.

ξ 142 Ξυνίεις: ὑπονοεῖς. Ἀριστοφάνης Πλούτῳ· εἶτ’ οὐ ξυνίεις τὴν ἐπίνοιαν τοῦ θεοῦ.

ξ 143 Ξύνιον: ἤκουον.

ξ 144 Ξυνθήματα: ὑπομνήματα. Σοφοκλῆς· οὗ τὰ Θησέως Πειρίθου τε κεῖται πιστὰ ξυνθήματα, ἃ ἔθεντο πρὸς ἀλλήλους περὶ τῆς εἰς ᾅδου καταβάσεως. καὶ αὖθις· ὥσπερ ἀπὸ ξυνθήματος αὐτοκράτορα τοῦτον ἐπευφήμησεν ὁ στρατός. οὐκ ἀφ’ ἑνὸς ξυνθήματος, ἀλλὰ διεσπασμένως καὶ οὐκ εἰς ἓν ξυμβαίνουσαν τὴν βοήν.

ξ 145 Ξυνοδόκος: ξενοδόχος.

ξ 146 Ξυνόν: κοινόν.

ξ 147 Ξυνοπαδός: ὁ ἑπόμενος, καὶ ἀκολουθῶν.

ξ 148 Ξυνουσίᾳ: τῷ ἔργῳ, τῇ πείρᾳ. ταῦτ’ ἐστίν, ὦ ξέν’, οὐ λόγοις τιμώμενα, ἀλλὰ τῇ ξυνουσίᾳ πλέω. Σοφοκλῆς.

ξ 149 Ξυνωμοσία: ἡ ὁρκωμοσία.

ξ 150 Ξυνωμότης: συστασιαστής. ξυνωμότης ὢν καὶ φρονῶν τυραννικά.

ξ 151 Ξυνωμοτῶν: ξυνωμοσίαν πεποιημένων, τουτέστι πίστεις δι’ ὅρκων δόντων ἑαυτοῖς καὶ συνθήκας κατά τινων πεποιηκότων ἐπὶ καταλύσει τινῶν. Ἀριστοφάνης· βοηθεῖθ’, ὡς ὑπ’ ἀνδρῶν τύπτομαι ξυνωμοτῶν.

ξ 152 Ξυνωρίς: τὸ μὴ πλῆρες ἅρμα, ἀλλ’ ἐκ δύο ἵππων συνεστώς· ὃ νῦν δίφρον καλοῦσι.

ξ 153 Ξυνωρίς: συζυγία. ἢ ἅρμα ἐκ β′ ἵππων συνεζευγμένον.

ξ 154 Ξὺν τῷ θεῷ πᾶς καὶ γελᾷ κὠδύρεται: ἀντὶ τοῦ θεοῦ βουλομένου καὶ τὰ κακὰ μεθίσταται εἰς τέρψιν.

ξ 155 Ξυπεταιωνεύς· δῆμος τῆς Κεκροπίδος Ξυπεταίη· ἀφ’ ἧς ὁ δημότης Ξυπεταιών.

ξ 156 Ξυρεῖ γὰρ ἐν χρῷ, ὥστε μὴ χαίρειν: ἀντὶ τοῦ μέχρι βάθους διϊκνεῖται, ὥστε μὴ χαίρειν. τὸ δὲ τινά παρέλκει.

ξ 157 Ξυρήκης: ὁ ξυρήσιμος, καὶ κουριῶν.

ξ 158 Ξυρησμός.

ξ 159 Ξυρίδες: καμπάκια, ζυγάβδια, ἢ ἄλλο ὑπόδημα διάφορον.

ξ 160 Ξυρὸν εἰς ἀκόνην: παροιμία πρὸς τοὺς ὧν βούλονται τυγχάνοντας. ὁμοία τῇ, ὄνον εἰς ἄχυρα.

ξ 161 Ξυρός: τὸ ἐργαλεῖον.

ξ 162 Ξυροῦ ἀκμῆς: τοῦ ὀξυτάτου, κατὰ λεπτότητα τῶν σιδηρίων.

ξ 163 Ξύσσιτος: σύντροφος, συνδιαιτητής.

ξ 164 Ξύσκηνος· Θουκυδίδης· τῶν τε ξυσκήνων ἤδη ἀπιόντων ἐκκρεμανύμενοι.

ξ 165 Ξυσταθεύσω: σὺν σοὶ ὀπτήσω τῷ ἔρωτι. ἀπὸ μεταφορᾶς τῶν κρεῶν.

ξ 166 Ξυστάρχεις: τοῦ γυμνασίου ἄρχεις.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ξ 167 Ξυστίδα: λεπτὸν ὕφασμα, περιβόλαιον.

ξ 168 Ξυστίδα: τὸ παχὺ ἱμάτιον.

ξ 169 Ξυστίς: χιτὼν ποδήρης γυναικεῖος. οἱ δὲ τραγικὸν ἔνδυμα ἐσκευοποιημένον καὶ ἔχον ἐπιπόρπημα. οἱ δὲ τὸ λεπτόν, παρὰ τὸ ἐξύσθαι. ἰδίως δὲ τὸ τῶν τραγῳδῶν ἔνδυμα. Ξυστὶς λέγεται τὸ κροκωτὸν ἱμάτιον, ὃ οἱ ἡνίοχοι μέχρι νῦν φοροῦσι πομπεύοντες. χρῶνται δὲ αὐτῷ καὶ οἱ τραγικοὶ βασιλεῖς. ξύστιδα δὲ προπαροξυτόνως οἱ Ἀττικοί. Ἀριστοφάνης Νεφέλαις· ὥσπερ Μεγακλέης ξύστιδ’ ἔχων. Ξύστις ἐστὶ καὶ ἱππικὸν ἔνδυμα, ὡς Ἀριστοφάνης ἐν Νεφέλαις.

ξ 170 Ξυστόν: δορύλλιον, ἀκόντιον· καὶ τὸ τέλειον δόρυ· καὶ ὁ τόπος, ἔνθα οἱ ἀθληταὶ γυμνάζονται. Ἀρριανός· τὰ σημεῖα τῆς ἐπιλέκτου στρατιᾶς ἀετοί, εἰκόνες βασίλειοι, στέμματα, πάντα χρυσᾶ, ἀνατεταμένα ἐπὶ ξυστῶν ἠργυρωμένων.

ξ 171 Ξυστός: ὁ ἐξεσμένος.